N. 242

# ΠΑΡΑΚΛΗΤΙΚΗ

## ΤΟΥ ΤΙΜΙΟΥ ΚΑΙ ΖΩΟΠΟΙΟΥ ΣΤΑΥΡΟΥ

ΔΑΠΑΝΗι ΚΑΙ ΠΡΟΣ ΧΡΗΣΙΝ

ΤΗΣ ΕΝ ΑΓΙΩι ΟΡΕΙ ΤΟΥ ΑΘΩι

ΙΕΡΑΣ, ΒΑΣΙΛΙΚΗΣ ΚΑΙ ΠΑΤΡΙΑΡΧΙΚΗΣ ΣΕΒΑΣΜΙΑΣ ΜΟΝΗΣ

**ΤΟΥ ΞΗΡΟΠΟΤΑΜΟΥ**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



ΕΝ ΒΟΛΩι

ΤΥΠΟΙΣ "ΠΑΝΘΕΣΣΑΛΙΚΟΥ" Α. ΠΛΑΤΑΝΙΩΤΟΥ - Σ. ΛΑΣΚΑΡΙΔΟΥ

98 — ΟΔΟΣ ΕΡΜΟΥ — 98

1900

# ΠΑΡΑΚΛΗΤΙΚΗ

## ΤΟΥ ΤΙΜΙΟΥ ΚΑΙ ΖΩΟΠΟΙΟΥ ΣΤΑΥΡΟΥ

ΔΑΠΑΝΗ ΚΑΙ ΠΡΟΣ ΧΡΗΣΙΝ

ΤΗΣ ΕΝ ΑΓΙΩι ΟΡΕΙ ΤΟΥ ΑΘΩι

ΙΕΡΑΣ, ΒΑΣΙΛΙΚΗΣ ΚΑΙ ΠΑΤΡΙΑΡΧΙΚΗΣ ΣΕΒΑΣΜΙΑΣ ΜΟΝΗΣ

**ΤΟΥ ΞΗΡΟΠΟΤΑΜΟΥ**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

---

**ΕΝ ΒΟΛΩ**

ΤΥΠΟΙΣ "ΠΑΝΘΕΣΣΑΛΙΚΟΥ" Α. ΠΛΑΤΑΝΙΩΤΟΥ - Σ. ΛΑΣΚΑΡΙΔΟΥ

98 — ΟΔΟΣ ΕΡΜΟΥ — 98

**1900**

# ΕΝ ΕΙΔΕΙ ΠΡΟΛΟΓΟΥ

Ἡ μετὰ χεῖρας φυλλάδα περιέχει Παρακλητικὸν Κανόνα πρὸς τὸν Τίμιον καὶ Ζωοποιὸν Σταυρὸν, καὶ Ἀκολουθίαν τοῦ Μικροῦ Ἁγιασμοῦ, οὗτινος ὅ τε Κανὼν καὶ αἱ Εὐχαὶ ἀναφέρονται ὡσαύτως πρὸς τὸν Τίμιον Σταυρὸν, καὶ οὐχὶ πρὸς τὴν Θεοτόκον, ὡς ὁ τοῦ Ἁγιασματαρίου, καίπερ κατὰ τὴν ἐκείνου τάξιν συντεταγμένος· πρὸς δὲ περιέχει καί τινας ἁγιαστικὰς Εὐχὰς ἐκ τοῦ Ἁγιασματαρίου εἰλημμένας. Ἐκδίδοται δὲ προθέσει μὲν καὶ δαπάνῃ τῆς ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθω Ἱερᾶς καὶ Σεβασμίας Μονῆς τοῦ Ξηροποτάμου, κατ' ἐπίμονον δ' αἴτησιν καὶ ἐπιθυμίαν πολλῶν εὐλαβῶν Χριστιανῶν, οὓς ὁ Τίμιος Σταυρὸς κατ' ἔτος ἁγιάζει, προσκλητικῶς περιφερόμενος ὑπὸ Πατέρων τῆς Μονῆς, καὶ παρ' οἷς ἄπειρα καὶ ποικίλα ἄχρι τοῦδε θαύματα ὑπ' Αὐτοῦ ἐγένοντο καὶ γίνονται.

Ἤδη προτιθέμενοι ἵνα ἐν ὀλίγοις ἐκθέσωμεν τὴν αἰτίαν τῆς ἐτησίου ταύτης περιοδείας τοῦ Τιμίου Σταυροῦ παρὰ τοῖς Ὀρθοδόξοις Χριστιανοῖς κατοίκοις τῶν ἐπαρχιῶν Ἀρδαμερίου, Ἱερισσοῦ, Κασσανδρίας καὶ Θεσσαλονίκης, συμπεριλαμβανομένης καὶ τῆς πόλεως, ὧν χάριν καὶ ἡ ἐκτύπωσις τῆς παρούσης φυλλάδας ἐγένετο, δὲν ἐθεωρήσαμεν ἄσχετον νὰ διαλάβωμεν χάριν τῶν φιλιστόρων καὶ βραχέα τινὰ, τὴν ἱστορίαν τῆς ἐν λόγῳ Ἱερᾶς Μονῆς τοῦ Ξηροποτάμου ἀφορῶντα.

Ἡ Ἱερὰ, Βασιλικὴ καὶ Πατριαρχικὴ αὕτη εὐαγὴς Μονὴ τοῦ Ξηροποτάμου, ἐπ' ὀνόματι τῶν Θεοστέπτων ἁγίων ἀ-

θλητῶν Μεγαλομαρτύρων Τεσσαράκοντα σεμνυνομένη, καὶ ἐν ταῖς πρώταις τῶν τοῦ Ἁγίου Ὄρους Ἱερῶν Μονῶν καταλεγομένη, κεῖται κατὰ τὴν ΝΔ τῆς Ἀθωνικῆς Χερσονήσου πλευρὰν (ὅπου τὸ πάλαι ἡ τῶν Κλεωνῶν κωμόπολις) ἐπὶ λαμπρᾶς καὶ ὁμαλῆς ἐκτισμένη τοποθεσίας καὶ ὑπὸ 100 περίπου οἰκουμένη Μοναχῶν.

Ἱδρύθη δὲ τὸ πρῶτον, καὶ ὑψιπετέσι καὶ ἐρυμνοῖς τείχεσι περιεβλήθη, ὑπὸ τῆς ἀοιδίμου Βασιλίσσης Ἁγίας Πουλχερίας, θυγατρὸς Ἀρκαδίου τοῦ Αὐτοκράτορος, συζύγου δὲ Μαρκιανοῦ, κατὰ τὰς ἀρχὰς τοῦ 5ου μ. Χ. αἰῶνος (425) Μονὴ τοῦ Χειμάρρου ἐπικληθεῖσα. Ἡ δὲ ἀοίδιμος Δομήτωρ πλὴν τῶν ἄλλων βασιλικῶν δωρεῶν, δι' ὧν τὴν Μονὴν κατεπλούτησε, καὶ τὰ τίμια καὶ ἅγια λείψανα τῶν Ἁγίων Τεσσαράκοντα, ὑπ' Αὐτῶν χρηματισθεῖσα, καὶ τεμάχιον μέγα τοῦ Τιμίου καὶ Ζωηφόρου Σταυροῦ, διὰ χρυσοβούλλου ἐν αὐτῇ τῇ Μονῇ ἀπεθησαύρισε.

Κατεδαφισθεῖσα δὲ τὸν 8ον αἰῶνα ἐξ ὁλοκλήρου, κατά τινα τῶν Ἀράβων ἐπιδρομήν, ἀνηγέρθη πολλῷ λαμπροτέρα καὶ περικαλλεστέρα τὸ δεύτερον ὑπὸ τοῦ Αὐτοκράτορος Ρωμανοῦ Α΄. τοῦ Λεκαπηνοῦ τῷ 924. Ὁ εὐσεβὴς οὗτος Αὐτοκράτωρ πρὸς τοῖς ἄλλοις ἐπροικοδότησε διὰ χρυσοβούλλου τῇ Μονῇ καὶ τὸ μέγιστον τῶν ἐν τῷ Βασιλικῷ θησαυροφυλακίῳ τεμάχιον τοῦ Παναγίου καὶ Ζωηφόρου Σταυροῦ εἰς ἁγιασμὸν καὶ διηνεκῆ Αὐτῆς περιφρούρησιν.

Τρίτος ἐν τοῖς Κτίτορσι τῆς Μονῆς ταύτης μνημονεύεται ὁ ἐπὶ τῇ θυγατρὶ Ἑλένῃ γαμβρὸς τοῦ Ρωμανοῦ Κωνσταντῖνος Ζ΄. ὁ Πορφυρογέννητος, ὃς σὺν τοῖς ἄλλοις ἐδωρήσατο τῇ Μονῇ καὶ μανδύαν πολυτελέστατον κοκκίνου χρώματος.

Τέταρτος τῆς Ἱερᾶς ταύτης τοῦ Ξηροποτάμου Μονῆς Κτίτωρ, ὑπὸ πυρκαϊᾶς καταστραφείσης, ἀναφέρεται Ἀνδρόνικος Β΄. ὁ Πρεσβύτερος (1302), οὗτινος καὶ χρυσόβουλλον ἐν τῇ Μονῇ σώζεται.

Κατὰ δὲ τὰς ἀρχὰς τοῦ 16ου αἰῶνος καταστραφεῖσα τὸ πλεῖστον ὑπὸ πυρκαϊᾶς καὶ σεισμοῦ ἀνῳκοδομήθη, καὶ πλείσταις δωρεαῖς βασιλικαῖς διὰ Χατ-σεριφίου κατεπλουτίσθη ὑπὸ τοῦ κυριαρχήσαντος τῆς Αἰγύπτου τῷ 1517 Σουλτὰν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Σελὴμ τοῦ Α΄., χρηματισθέντος πρὸς τοῦτο ὑπὸ τῶν Ἁγίων Τεσσαράκοντα, τὴν ἐμφάνειαν Αὐτῶν αὐτῷ τε καὶ τοῖς ὑπουργοῖς αὐτοῦ διὰ θαύματος πιστωσαμένων.

Πολλὰ δ' ἡ Ἱερὰ αὕτη Μονὴ ὀφείλει καὶ τῷ ἐν τοῖς κάτω χρόνοις (κατὰ τὰ τέλη τοῦ παρελθόντος αἰῶνος) ἐν Αὐτῇ μονάσαντι πνευματικῷ Αὐτῆς τέκνῳ Καισαρίῳ Δαπόντε, ἀνδρὶ οὐ μικρᾶς παιδείας κατόχῳ, καὶ εἴπερ τις καὶ ἄλλος ζηλωτῇ καὶ ποιητῇ ἐξόχῳ, ἐπὶ δεκαετίαν ὅλην εἰς περιοδείας συνεχεῖς τοῦ Τιμίου Σταυροῦ ὑπὲρ δύναμιν μογήσαντι, καὶ τὸ νῦν Καθολικὸν Αὐτῆς ἐκ βάθρων ἐγείραντι καὶ λίαν φιλοκάλως διακοσμήσαντι τῇ πλουσίᾳ τῶν ἐράνων συλλογῇ, ἣν ἐκ τῆς περιοδείας του ἀπεκομίσατο, πρὸς δὲ πολλὰ πολύτιμα καὶ θαυμασμοῦ ἄξια κειμήλια τῇ Μονῇ ἀποθησαυρίσαντι, καὶ συγγράμματα πνεύματος οὐκ ἀμοιροῦντα καὶ Χριστιανικῆς εὐσεβείας ἔμπλεα ἐν τῇ πλουσίᾳ βιβλιοθήκῃ Αὐτῆς καταλιπόντι. Καὶ ταῦτα μὲν ἐν ὀλίγοις περὶ τῶν ἱδρυτῶν τῆς Μονῆς ταύτης. Ἤδη δὲ διαλάβωμεν συνοπτικῶς, ὡς ἐν ἀρχῇ εἴπομεν, καὶ τὴν αἰτίαν τῆς ἐτησίου περιοδείας τοῦ Τιμίου Σταυροῦ εἰς τὰς διαληφθείσας τέσσαρας ἐπαρχίας Ἀρδαμερίου, Ἱερισσοῦ, Κασσανδρίας καὶ Θεσσαλονίκης.

Καὶ πρῶτον μὲν δηλοῦμεν ὅτι ἐκτὸς τῶν δύο τεμαχίων τοῦ Τιμίου Σταυροῦ, ὧν ἀνωτέρω ἐμνημονεύσαμεν, ἡ Ἱερὰ τοῦ Ξηροποτάμου Μονὴ κέκτηται καὶ τρίτον τεμάχιον, περίπου ἰσομέγεθες, Πατριαρχικὸν κατὰ τὴν παράδοσιν, ἀφιέρωμα· περιφέρει δὲ τὸ ἓν ἐκ τῶν τριῶν τεμαχίων, παρακλητικῶς προσκαλουμένη, εἰς τὰς προρρηθείσας ἐπαρχίας πρὸς ἁγιασμὸν τῶν ἐν αὐταῖς εὐλαβῶν Χριστιανῶν, ἀρχομένη ἐκ τῆς χώρας Ραβνά, τῆς ἐν τῇ Ἐπαρχίᾳ Ἀρδαμερίου κειμένης, ὑφ' ἧς καὶ μετ' ἐπισημότητος μεγάλης ἐξ ἀρχῆς καὶ ἄχρι τῆς σήμερον κατ' ἔτος προσκαλεῖται. Ἐὰν γὰρ μὴ προσκληθῇ ἐπισήμως, οὐδέποτε εἰς περιοδείαν ἀποστέλλεται. Αἰτία δὲ τῆς ὑπὸ τῶν Ραβνιωτῶν ἐτησίου προσκλήσεως τοῦ Τιμίου Σταυροῦ ἐν τῇ χώρᾳ αὐτῶν, πρὸ 150 περίπου ἐτῶν τὴν ἀρχὴν λαβούσης, ὑπῆρξεν ἡ ἀκόλουθος :

Ἡ διαληφθεῖσα χώρα πρὸ ἑνὸς καὶ ἡμίσεως αἰῶνος ἤρξατο μαστιζομένη ὑπὸ δαιμονικῶν τινων φαντασιῶν καὶ δια-

φόρων ἄλλων νόσων ἐπὶ τοσοῦτον, ὥστε οἱ κάτοικοι πολλοὶ μὲν ὑπὸ φόβου ἀπέθνησκον, ἄλλοι ἄλλα ἔπασχον, καὶ ἕτεροι ἐξαπορούμενοι περὶ ἀποδημίας καὶ ἐγκαταλείψεως καὶ αὐτῆς τῆς πατρικῆς ἑστίας ἐσκέπτοντο. Ἑβραῖος δέ τις Θεσσαλονικεὺς τυχαίως πληροφορηθεὶς τὰ κατ᾽ αὐτοὺς παρὰ τῶν ἰδίων, διεκτραγῳδούντων ποτὲ ἐνώπιον αὐτοῦ τὴν συμφορὰν αὐτῶν ταύτην, συνεβούλευσεν αὐτοῖς νὰ προσκαλέσωσιν ἐκ τῆς Μονῆς τοῦ Ξηροποτάμου τὸν Τίμιον Σταυρὸν, ὃν Αὕτη κέκτηται, καὶ ἁγιασθῶσι δι᾽ Αὐτοῦ, ὅπως ἀπαλλαγῶσι τῆς δαιμονικῆς ταύτης διενοχλήσεως. Τοῦθ᾽ ὅπερ τῶν εὐλαβῶν Ραβνιωτῶν παραχρῆμα εἰς ἔργον βαλόντων, καὶ τὸν Τίμιον Σταυρὸν προσκαλεσαμένων, ἡ Ἱερὰ Μονὴ τοῦ Ξηροποτάμου προθύμως δι᾽ Ἀδελφῶν Αὐτῆς ἐκεῖσε ἐξαπέστειλεν. Ἐγγίζοντος δι᾽ εἰς Ραβνὰ τοῦ Τιμίου καὶ Ζωηφόρου Σταυροῦ ᾔσθετο ὁ ἐχθρὸς τοῦ καλοῦ, ὁ ἐκεῖ πρὸ πολλοῦ ἐμφωλεύων ἀνθρωποκτόνος διάβολος τὴν προσέλευσιν Αὐτοῦ, καὶ προϊδὼν τὴν ἰδίαν ἧτταν καὶ τὸν παντελῆ ἑαυτοῦ ὄλεθρον, φοβερῶς ὀλολύξας ᾤχετο ἀπιών, ὡς ὑπὸ πυρὸς διωκόμενος. Τὸν ἀσυνήθη δὲ τοῦτον καὶ τρομερὸν θόρυβον οἱ κάτοικοι τῶν Ραβνῶν ἀκούσαντες, δεινῶς καταπτοηθέντες, καὶ φόβῳ συσχεθέντες, τὴν θείαν ἀντίληψιν μετ᾽ εὐλαβείας καὶ κατανύξεως πολλῆς ἐπεκαλοῦντο. Πληροφορηθέντες δ᾽ ἐν τῷ μεταξὺ τούτῳ τὴν ἄφιξιν τοῦ Τιμίου Σταυροῦ, σπεύσαντες προσκυνητὰς καὶ μετὰ δακρύων Τοῦτον ὑπεδέχοντο, καὶ ὡς σωστικὴν ἄγκυραν ἐναγκαλιζόμενοι Αὐτὸν κατησπάζοντο. Ἁγιασθέντες δὲ, καὶ τῆς δαιμονικῆς εἰς τέλος δι᾽ Αὐτοῦ ἀπαλλαγέντες ἐπηρείας, ἐν συνοδείᾳ καὶ παρατάξει πολλῇ ἐπανέφερον Αὐτὸν εἰς τὴν Ἱερὰν τοῦ Ξηροποτάμου Μονὴν, δοξάζοντες τὸν ἐπ᾽ Αὐτοῦ προσηλωθέντα Θεὸν ἡμῶν, εὐχαριστοῦντες δὲ τοῖς Ξηροποταμηνοῖς Πατράσι, τοῖς προθύμως τε καὶ ἀόκνως ἀρωγοῖς αὐτοῖς σπεύσασιν εἰς τὴν συμφορὰν αὐτῶν.

Εἰς ἀνάμνησιν οὖν τοῦ μεγάλου τούτου καὶ ἐξαισίου θαύματος, καὶ πρὸς ἁγιασμὸν αὐτῶν, οἱ εὐλαβεῖς καλοὶ Ραβνιῶται προσκαλοῦσιν ἔκτοτε κατ᾽ ἔτος τὸν Τίμιον καὶ Ζωοποιὸν Σταυρὸν εἰς τὴν ἑαυτῶν χώραν, καὶ τούτων ἁγιασθέντων περιφέρεται, ὡς ἔφθημεν εἰπόντες, προσκαλούμενος μετὰ ταῦτα



καὶ εἰς τὰς λοιπὰς χώρας τῶν διαλειφθέντων τεσσάρων Ἐπαρχιῶν. Καὶ εἰς ἄλλας δὲ πολλὰς χώρας καὶ πόλεις πολλάκις ἐκτάκτως προσκαλεῖται, καὶ τὴν θείαν χάριν Αὐτοῦ πλουσίως παρέχεται.

Καθ᾽ ὅμοιον ὡσαύτως τρόπον προσκαλεῖται κατ᾽ ἔτος καὶ παρὰ τῶν εὐλαβῶν κατοίκων τῆς χώρας Μαριῶν τῆς ἐν τῇ νήσῳ Θάσῳ, ἐκεῖθεν δὲ καὶ εἰς τὰ λοιπὰ τῆς νήσου χωρία, ἔνθα ἁγιάζων τοὺς εὐσεβεῖς Χριστιανοὺς πλεῖστα θαύματα ἐπετέλεσε καὶ καθ᾽ ἑκάστην ἐπιτελεῖ. Ἡ ὑπὸ τῶν Μαριωτῶν δ᾽ αὕτη πρόσκλησις τοῦ Τιμίου Σταυροῦ ἤρξατο κατὰ τὴν πρώτην τοῦ παρόντος αἰῶνος δεκαετηρίδα, πρώτη ἀφορμὴ τῆς ὁποίας ὑπῆρξε βροτολοιγὸς καὶ καταστρεπτικὴ νόσος ἐν τῇ χώρᾳ αὐτῶν τότε ἐπιδημήσασα.

Ἐκτὸς τῆς ἐν τῷ παρόντι βιβλιαρίῳ Ἀκολουθίας τοῦ Μικροῦ Ἁγιασμοῦ. καὶ τοῦ Παρακλητικοῦ Κανόνος, ὑπάρχει ἐν τῇ Μονῇ τοῦ Ξηροποτάμου καὶ ἕτερος Παρακλητικὸς Κανὼν πρὸς τὸν Τίμιον Σταυρὸν χειρόγραφος. Διακρίνονται δ᾽ ἀμφότεροι ἐπὶ γλαφυρότητι ὕφους καὶ ὕψει ἐννοιῶν· ψάλλονται δ᾽ ἐκ περιτροπῆς κατὰ πᾶσαν Πέμπτην ἑσπέρας, μετὰ τοῦ ἑσπερινοῦ συναπτόμενοι, ἐν τῷ Καθολικῷ τῆς Μονῆς, ὁπότε ἐξάγεται πρὸς προσκύνησιν καὶ τεμάχιον μικρὸν τοῦ Τιμίου Σταυροῦ, διάφορον τῶν τριῶν, ὧν ἐν τοῖς ἔμπροσθεν ἐποιησάμεθα μνείαν. Τὸ τεμάχιον τοῦτο τῇ 14ῃ Ἰουλίου 1888 ἐν τῷ Προσκυνητηρίῳ εὑρισκόμενον ἐξηφανίσθη, καὶ μεθ᾽ ὅλας τὰς συντόνους καὶ δραστηριωτάτας ἐρεύνας, ἃς ἡ Μονὴ καὶ μόνη καὶ διὰ τῆς Ἐπιτοπίου Ἐκκλησιαστικῆς Ἀρχῆς διενήργησεν, οὐδαμοῦ ἀνεκαλύφθη. Μετὰ παρέλευσιν δ᾽ ὀκτὼ ἐτῶν, ἤτοι τῇ 3 Αὐγούστου 1896, ἀνελπίστως ὅλως καὶ πρὸς μεγίστην τῆς Ἀδελφότητος ἔκπληξιν, ἀπεστάλη τὸ Πανάγιον καὶ θαυματόβρυτον τοῦτο ξύλον ταχυδρομικῶς τῇ Μονῇ ἐκ Στυλίδος τῆς Ἑλλάδος παρά τινος Παπᾶ Γεωργίου. Ἡ δὲ Μονὴ μετὰ χαρᾶς τοῦτον ἀφάτου ἀπολαυοῦσα, καὶ μετ᾽ ἐκτάκτου παρατάξεως Ἐκκλησιαστικῆς ἐν τῷ Ἱερῷ τοῦ Καθολικοῦ ἐναποθεμένη, ἔσπευσε δι᾽ ἐπιστολῆς διερωτῶσα τίνι τρόπῳ τὸ πανίερον τοῦτο Αὐτῆς κειμήλιον περιῆλθεν εἰς χεῖρας τοῦ ἀποστείλαντος αὐτὸ, καὶ τί πρὸς τὴν ἐπιστροφὴν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

αὐτοῦ αὐτὸν ἐξηνάγκασε. Δυστυχῶς οὐκ ἠξιώθη ἡ Μονὴ ἀπαντήσεως, καὶ οὕτω ἄχρι τῆς σήμερον διατελεῖ ἐν ἀγνοίᾳ τοῦ τε δράστου καὶ τοῦ τρόπου τῆς κλοπῆς τοῦ Ἱεροῦ τούτου κειμηλίου Αὐτῆς.

Περαίνοντες σημειοῦμεν ὅτι ἡ Ἱερὰ Μονὴ τοῦ Ξηροποτάμου πλὴν τῶν τεσσάρων τούτων τεμαχίων τοῦ Τιμίου Σταυροῦ πλουτεῖ καὶ ἄνω τῶν 50 Ἁγίων ἐνώνυμα τίμια, θαυματουργὰ καὶ εὐωδέστατα λείψανα, ἐν οἷς πρωτεύουσι τὰ τῶν Ἁγίων Μεγαλομαρτύρων Τεσσαράκοντα, καὶ πολλὰ ἕτερα ἀνώνυμα, εἰς καύχημα καὶ φυλακτήριον καὶ ἁγιασμὸν Αὐτῆς.

Ἐν τῷ ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθω Ἱερᾷ, Βασιλικῇ καὶ Πατριαρχικῇ Σεβασμίᾳ Μονῇ τοῦ Ξηροποτάμου.

ΚΑΤΑ ΜΗΝΑ ΑΥΓΟΥΣΤΟΝ ΤΟΥ ΣΩΤΗΡΙΟΥ ΕΤΟΥΣ 1900.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΤΙΜΙΟΝ ΚΑΙ ΖΩΟΠΟΙΟΝ ΣΤΑΥΡΟΝ

ΠΟΙΗΜΑ

ΝΙΚΗΦΟΡΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ ΡΟΔΙΟΥ ΤΟΥ ΚΡΗΤΟΣ

**Μετὰ τό, Εὐλογητός, τό, Κύριε εἰσάκουσον τῆς προσευχῆς μου. Τό, Θεὸς Κύριος, καὶ τὰ παρόντα Τροπάρια, πρὸς Τῇ Θεοτόκῳ.**

Τῷ Ζωηφόρῳ νῦν Σταυρῷ προσπελάσωμεν, οἱ μακρυνθέντες τοῖς κακοῖς καὶ προσψαύσωμεν, ἐν ἐπιστρόφῳ λέγοντες καρδίᾳ πιστῶς, πρόφθασον βοήθησον, ὁ Σταυρὸς τοῦ Κυρίου, φάνηθι λυτρούμενος, ἐκ παντοίων κινδύνων, μὴ ἐποφθῶμεν ἄπρακτοι ζητεῖν, τὴν σὴν γὰρ σκέπην βεβαίαν ἐλπίζομεν.

**Δόξα.**

Οὐ δυνησώμεθα Σταυρὲ τοῦ Κυρίου, τὰ σὰ θαυμάσια ὑμνεῖν οἱ κατάκριτοι· εἰ μὴ γὰρ σὺ παρεῖχες τὰ δωρήματα, τίς ἡμῖν τὴν ἴασιν τῶν τοῦ σώματος νόσων, τίς δὲ καὶ τὴν κάθαρσιν τῶν ψυχῶν ἐδωρεῖτο; οὐ μακρυνθῶμεν πώποτε ἐκ σοῦ· σὺ γὰρ σκέπεις πάντας πιστοὺς, ἐκ παντοίων κακῶν.

**Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Εἶτα τὸν Ν΄. καὶ τὸν Κανόνα. λέγοντες Στίχον:**

Σταυρὲ τοῦ Χριστοῦ πανάγιε σκέπε ἡμᾶς τῇ δυνάμει σου.

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**

Σταυρὲ σκῆπτρον ἅγιον τοῦ Χριστοῦ, τοὺς σὲ προσκυνοῦντας, καταξίωσον Βασιλεῖ, Θεῷ τε καὶ Κτίστῃ ὑπακούειν, καὶ ὑπ' αὐτοῦ βασιλεύεσθαι ποίησον.

Σταυρὲ ξύλον Ἅγιον καὶ σεπτὸν, τοὺς ἐν εὐλαβείᾳ, προσκυνοῦντας τὴν ἱεράν, σκέπην σου ἀτρώτους ἀπὸ βλάβης, καὶ πειρασμῶν καὶ κινδύνων συντήρησον.

**Δόξα.**

Σταυρὲ ἡ βοήθεια τῶν πιστῶν, δίδου βοηθείας, τοῖς ὑ-



μνοῦσι τὸ ἱερὸν, κράτος σου καὶ αἴρειν τὰ βραβεῖα, κατὰ παθῶν ψυχοφθόρων ἐνίσχυσον.

**Καὶ νῦν. Θεοτοκίον.**

Σταυρὸν καθορῶσα Ἁγνὴ ἀμνὰς, τοῦ ἁγνῶς τεχθέντος, ἐξ αὐτῆς οὗτός ἐστι νῦν, πιστῶν σωτηρία ἀνεβόα, καὶ κραταιὰ προστασία καὶ στήριγμα.

**Ὠδὴ γ΄. Οὐρανίας ἀψῖδος.**

Ὦ Σταυρὸς τοῦ Κυρίου, χαῖρε πιστῶν καύχημα, χαῖρε κραταιὰ προστασία, χαῖρε παράκλησις, τοὺς προσκυνοῦντάς σε, ἐκ περιστάσεως ῥῦσαι, καὶ δεινῆς κακώσεως, καὶ πάσης θλίψεως.

Ὦ Σταυρὸς τοῦ Σωτῆρος, χαῖρε στερρὸν ἔρεισμα, χαῖρε τῶν ὑμνούντων σε φύλαξ, χαῖρε προπύργιον, τοὺς προσκυνοῦντάς σε, ἐκ τῶν τοῦ βίου σκανδάλων, ῥῦσαι καὶ διάσωσον, Θείᾳ δυνάμει σου.

Ὦ Σταυρὸς τοῦ Δεσπότου, χαῖρε νεκρῶν ἔγερσις, χαῖρε ἀσθενούντων ἡ ῥῶσις, χαῖρε ἀντίληψις, τοὺς προσκυνοῦντάς σε, φύλαττε φρούρει καὶ σκέπε, ἐκ τῶν ὁρωμένων τε, καὶ ἀοράτων ἐχθρῶν.

**Θεοτοκίον.**

Ὦ Σταυρὸς τοῦ Υἱοῦ σου, παρθενικὸν καύχημα, πᾶσι σοῦ τὸν τόκον ὑμνοῦσι δύναμις πέφυκεν, οὗ ἡ προσκύνησις, καὶ τὸ πρὸς σὲ καταφεύγειν, πάθη θριαμβεύουσι, ψυχῆς καὶ σώματος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Διάσωσον ἀπὸ κινδύνων ἡμᾶς Σταυρὲ τοῦ Σωτῆρος, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος καὶ στερρὸν ὅπλον.

Ἐπίβλεψον ἐπὶ τὴν ποίμνην σου Ἄχραντε Θεοτόκε, καὶ ὁ Σταυρὸς τοῦ Κυρίου Θείᾳ δυνάμει σου πρόστηθι, καὶ ρύσασθε πάσης ταύτην ἀνάγκης.

**Ὁ δὲ Ἱερεὺς μνημονεύει ὡς σύνηθες. Εἶτα.**

Προστάτης θερμὸς, καὶ τεῖχος ἀπροσμάχητον, φρουρὸς βοηθὸς, πιστῶν τὸ καταφύγιον, ἐκτενῶς βοῶμέν σοι. Σταυρὲ Χριστοῦ πανάγιε πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς ὁ μόνος ταχὺς εἰς τὴν βοήθειαν.

**Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.**

Ὁ Σταυρὸς ὁ πανάγιος, πᾶσι τοῖς ὑμνοῦσιν αὐτὸν τὴν ἴασιν, καὶ πταισμάτων ἀπολύτρωσιν, ἐμφανῶς ὁρᾶται χαριζόμενος.

Τῶν ἀμέτρων πταισμάτων μου, ροῦν τὸν θολερώτατον ἀποξήρανον, ὁ βαστάσας τὸν ξηράναντα, ἀθείας ὕλην Σταυρὲ τίμιε.

Ἁμαρτίαις συμπέφυρμαι, καὶ ἐκ τούτων ἦλθον εἰς ἀλλεπάλληλον, ἀρρωστίαν· ὅθεν κράζω σοι, τὰς ἰάσεις ἄμφω Σταυρὲ δώρησαι.

**Θεοτοκίον.**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Οἱ Σταυρὸν καὶ τὴν Ἄχραντον, ἔχοντες ἐλπίδα οὐκ αἰσχυνθήσονται· ἡ πρεσβεία γὰρ καὶ δύναμις, τῆς Μητρὸς καὶ Σκήπτρου σφόδρα δύνανται.

**Ὠδὴ ε'. Φώτισον ἡμᾶς.**

Γλύκανον ἡμῶν, τὴν πικρίαν τὴν τῶν θλίψεων, Σταυρὲ Κυρίου, ὁ πάλαι τῆς Μερρᾶς πικρῶν ὑδάτων, τὴν πικρίαν ἰασάμενος.

Κούφισον ἡμῶν, ἅπαν ἄλγος τε καὶ κάκωσιν, καὶ σκυθρωπότητα, ἐκ τῶν καρδιῶν Σταυρὲ Κυρίου, δέδοταί σοι γὰρ τὸ δύνασθαι.

Σκέπασον ἡμᾶς, τῇ δυνάμει σου πανάγιε Σταυρὲ Κυρίου, ἐν σοὶ γὰρ τοῦ Πατρὸς ἰσχὺς ἐπήρθη, τὸ σὸν κράτος ἐνισχύουσα.

**Θεοτοκίον.**

Εἴχομεν πιστοὶ, προστασίαν πρὸς τὸν Κύριον, τὴν Παναγίαν Παρθένον καὶ τὸν Σταυρὸν, ὧν καταπλήττει καὶ τοὺς δαίμονας ἡ δύναμις.

**Ὠδὴ Στ'. Τὴν δέησιν.**

Τὸ ὅπλον τῶν Βασιλέων ὑμνῶ σε, τὴν στολὴν τῶν Ἱερέων ὑψῶ σε, χριστιανῶν τὴν ἐλπίδα ἁπάντων, ὑμνολογῶ σε

Σταυρὲ παμμακάριστε, τὸ καύχημα κἀμοῦ τοῦ σοῦ, δούλου ὃν σε ὡς ὅπλον ἀμπέχομαι.

Σὲ σκέπην χριστιανοὶ γινώσκομεν, καὶ καυχώμεθα ἐν σοὶ ξύλον Θεῖον· εἰς πάντα γάρ σε εὑρίσκομεν κράτος, καὶ παντελῆ σωτηρίαν καὶ σύμμαχον· τὴν χάριν σου ὅθεν ἡμῖν, τοῖς ὑμνοῦσί σε πόθῳ κατάπεμψον.

Ὁ Κύριος ἰσχυρὸν ἡμῖν τεῖχος, καὶ προστάτην καὶ φρουρόν σε παρέσχε· καὶ γὰρ ἐν σοὶ ἐναντίον δυνάμεις, ἐξηφανίσθησαν σθένει τοῦ κράτους σου· ὡς ἔχων οὖν πᾶσαν ἰσχὺν, ἀσθενοῦντας ἡμᾶς Σταυρὲ ἴσχυσον.

**Θεοτοκίον.**

Σωτῆράς μου ἐπιγράφομαι πόθῳ, τοὺς τὸν Κτίστην ἐν σαρκὶ δεξαμένους· τὴν μὲν Ἁγνὴν, ὡς ζωὴν ἀφθαρτοῦσαν, τὸν δὲ Σταυρὸν ὡς νεκρῶν ζωοπάροχον· νεκρώσει οὖν ζωοποιῷ, ὁ Σταυρὸς καὶ ἡ Κόρη ζωώσατε.

Διάσωσον Σταυρὲ Κυρίου τὴν ποίμνην σου ἀπὸ βλάβης, ὅτι πάντες ἐν σοὶ καυχώμεθα καὶ γινώσκομεν, τὴν σκέπην σου κράτος καὶ σωτηρίαν.

Ἐμφάνηθι Σταυρὲ Χριστοῦ παμμακάριστε σῇ δυνάμει, ἐξελοῦ ἡμᾶς δεινοῦ ἀλάστορος τῶν παγίδων, καὶ ἴθυνον πρὸς οὐράνιον τρίβον.

**Καὶ ὁ Ἱερεὺς μνημονεύει ὡς σύνηθες.**

**Εἶτα τὸ Κοντάκιον. Ἦχος β΄.**



Παρρησία τῶν χριστιανῶν ἀκαταίσχυντε, συμμαχία κατὰ τῶν ἐχθρῶν ἀπροσμάχητε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον ὡς ἰσχυρὸς εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· Τάχυνον ἡ ἐλπίς μου, καὶ σπεῦσον ἡ βακτηρία, ἐπιστηρίζων Σταυρὲ Θεοφόρε τοὺς τιμῶντάς σε.

**Προκείμενον. Ἦχος δ΄.**

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖται τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.

**Στίχ. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.**

**» Μνήσθητι τῆς συναγωγῆς σου.**

**Εἶτα τὸ Εὐαγγέλιον.**

**Ἐκ τοῦ κατὰ Ἰωάννην. Κεφ. γ΄. 13.**

Εἶπεν ὁ Κύριος· Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν Οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ Οὐρανοῦ καταβὰς ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ Οὐρανῷ. Καὶ καθὼς Μωσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου· ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον. Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν Μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον· οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ᾽ ἵνα σωθῇ ὁ κόσμος δι᾽ αὐτοῦ.

**Εἶτα.**

**Δόξα. Ἦχος β΄.**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Τῇ τοῦ Θείου Σταυροῦ σου δυνάμει Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν.**

**Ταῖς τοῖς Θεοτόκου πρεσβείαις.**

**Στίχ.**

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου.

**Καὶ τὸ παρὸν Ἰδιόμελον. Ἦχ. πλ β'.**

Σταυρὲ τοῦ Χριστοῦ, χριστιανῶν ἡ ἐλπίς, πεπλανημένων ὁδηγὲ, χειμαζομένων λιμὴν, ἐν πολέμοις νῖκας οἰκουμένης ἀσφάλεια, νοσούντων ἰατρὲ, νεκρῶν ἡ ἀνάστασις, ἐλέησον ἡμᾶς.

**Ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου.**

**Καὶ ἡ Ἐκφώνησις. Ἐλέει καὶ οἰκτιρμοῖς.**

**Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Τὸ κράτος τοῦ θανάτου, τεθανάτωται πάλαι τῆς κρεμαμένης ζωῆς, θανάτῳ ζωηφόρῳ, Σταυρὲ ἐν σοὶ διό σε, ἱκετεύω κραυγάζων σοι· τῶν θανατούντων με παθῶν ῥῦσαι τὸν δοῦλόν σου.

Τὴν βροτῶν σωτηρίαν, ὁ Σωτὴρ ἠβουλήθη ἐναπεργάσασθαι, ἐν ξύλῳ ζωηφόρῳ, διδοὺς τοῖς σωζομένοις, μελῳδεῖν τὰ σωτήρια· Χαῖρε Σταυρὲ τοῦ Χριστοῦ, ψυχῶν ἁπάντων σώστης.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Τοῦ ξύλου τῆς κατάρας, οἱ τρυφήσαντες εὗρον τὰς ἀφεσίμους ἐν σοὶ, ἐκτάσει εὐλογίας, χειρῶν τῶν τοῦ Δεσπότου· διὸ πάντες σοι κράζομεν· τὴν εὐλογίαν Σταυρὲ δίδου τοῖς σὲ τιμῶσι.

**Θεοτοκίον.**

Καυχῶμαι τὴν δυάδα, προβαλλόμενος πρέσβεις πρὸς τὸν Σωτῆρα Χριστὸν, Μητέρα καὶ τὸ σκῆπτρον, ἰσχύει γὰρ ἡ Μήτηρ, καὶ τὸ σκῆπτρον κρατύνει με· Χαῖρε τὸ σκῆπτρον Χριστοῦ, χαῖρε ἡ Μήτηρ Θεοῦ.

**Ὠδὴ η'. Τὸν Βασιλέα τῶν Οὐρανῶν.**

Τοὺς προσκυνοῦντάς σε τὸν Σταυρὸν διατήρει, πειρασμῶν καὶ κινδύνων ἀτρώτους· ἔχεις γὰρ τὴν σκέ ην, φρουροῦσαν πιστοὺς πάντας.

Τὰς ἀρρωστίας τὰς τῆς σαρκὸς ἰατρεύεις, καὶ κηλῖδας τῶν ψυχῶν ἐκκαθαίρεις· ὅθεν σε ὑμνοῦμεν, Σταυρὸν τὸν τοῦ Κυρίου.

Τοὺς σημειοῦντας ἐπάνω αὐτῶν τὸ σημεῖον, σοῦ Σταυρὲ τῶν παγίδων τοῦ σκότους, λύτρωσαι καὶ σῶσον διὰ τοῦ σοῦ σημείου.

**Θεοτοκίον.**

Τοῦ Βασιλέως τῶν Οὐρανῶν τὴν Μητέρα, καὶ Σταυρὸν τοῦ Σωτῆρος ἐν πίστει, πάντες προσκυνοῦμεν, ὡς περ κοινοὺς προστάτας.

**Ὠδὴ θ'. Κυρίως Θεοτόκον.**

Σημεῖον νικηφόρον, πάντες οἴδασί σε, οἱ διὰ σοῦ τὰ βραβεῖα καὶ νίκας Σταυρὲ, σὺν εὐλαβείᾳ λαβόντες, σὲ μεγαλύνουσιν.

Ὦ ξύλον ζωηφόρον, δέχου τῶν σῶν δούλων, τὰς ἱκεσίας τῶν σὲ πλουτούντων Σταυρὲ, καὶ σοὶ βοώντων ἐν πίστει, σὺ ἡμῶν καύχημα.

Προσφέρω σοι ἐκ πόθου, δέησιν παμμάκαρ, δέξαι Σταυρὲ καὶ τὴν χάριν παράσχου κἀμοὶ, σὲ προσκυνοῦντι ἐν πίστει, καὶ μεγαλύνοντι.

**Θεοτοκίον.**

Οὐ θέλω σιωπῆσαι, τὰ τῆς Θεοτόκου, καὶ τοῦ Σταυροῦ μὴ κηρύττειν θαυμάσια, οὐ σιωπῶ ἀλλὰ λέγω, εἰ καὶ ἐσίγησα.

**Εἶτα.**

Ἄξιόν ἐστιν ὡς ἀληθῶς Καὶ τὰ παρόντα Μεγαλυνάρια εἰς τὸν Τίμιον Σταυρὸν, πρὸς τὸ,

**Δεῦτε εὐφημήσωμεν.**

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὸν Θεοδόχον, τὸν ἀειμακάριστον καὶ πανυπέρλαμπρον, τὸν Σταυρόν τε τοῦ Χριστοῦ ἡμῶν· τὸν ὑπεραρθέντα τῶν Χερουβὶμ, καὶ τὸν ὑπεράνω ἀναβάντα τῶν Σεραφὶμ, τὸν ἀνερμηνεύτως Θεὸν Λόγον ὑψώσαντα· τὸν ὄντως Θεοδόχον σὲ μεγαλύνομεν.



Τὸν ἐπιφανέντα ἐν Οὐρανῷ, καὶ ἐκτυπωθέντα δι' ἀστέρων φωτολαμπῶν, τὸν ὑπερβαλλόντως ἐν κόσμῳ ὑψωθέντα, Σταυρὸν τὸν ζωηφόρον ὕμνοις τιμήσωμεν.

Τὸν ἀνυψωθέντα ἐν τῷ Σταυρῷ, ἐν τόπῳ Κρανίου καὶ σαλεύσαντα πᾶσαν γῆν, Ἥλιος ὡς εἶδε κρεμάμενον ἐν ξύλῳ, τὸ φῶς διεκλονήθη, καὶ γῆ σεσάλευται.

Δεῦτε προσκυνήσωμεν ἐν χαρᾷ καὶ ἀμέτρῳ φόβῳ, ξύλον ἅγιον καὶ σεπτὸν, δῶρον τοῦ Δεσπότου, ὅθεν κατὰ δαιμόνων, καὶ τῶν παθῶν ἰσχύς τε καὶ ἀπολύτρωσις.

Δεῦτε προσκυνήσωμεν οἱ πιστοὶ, τὸ τίμιον ξύλον, τὸν Σταυρὸν τὸν ζωοποιὸν, ἔνθα ἐσταυρώθη ὁ Ποιητὴς καὶ Πλάστης, ὁ μόνος Ἐλεήμων καὶ πολυεύσπλαγχνος.

Σταυρὲ πανακήρατε τοῦ Χριστοῦ, προσκυνοῦμεν πίστει, τὴν ἰσχύν σου τὴν κραταιὰν, καὶ πόθῳ ἀπλέτῳ, ἀσπαζόμεθα πάντες, βοῶντες : σῇ δυνάμει ἡμᾶς περίσωζε.

Σταυρὲ τρισμακάριστε τοῦ Χριστοῦ, σὲ πάντες τιμῶμεν προσκυνοῦντές σε εὐσεβῶς, ἐν φόβῳ καὶ πόθῳ, χαρᾷ τε καὶ ἀγάπῃ, χείλεσιν ἀναξίοις κατασπαζόμεθα.

Χαῖρε σκῆπτρον ἅγιον τοῦ Χριστοῦ, Σταυρὲ ζωηφόρε καύχημα τῶν χριστιανῶν, κλέος Ἱερέων, καὶ δόξα μοναζόντων, δαιμόνων καθαιρέτα, Σταυρὲ πανάγιε.

Χαῖρε τὸ τρισπόθητον τοῦ Χριστοῦ, πανάγιον ξύλον,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ζωηφόρε Θεῖε Σταυρέ, ἐν σοὶ γὰρ ὁ πάντων Θεός τε καὶ Δεσπότης ἐξέτεινε τὰς χεῖρας διὰ τὸ σῶσαι ἡμᾶς.

Τοῦ Σταυροῦ τὸ ξύλον πάντες πιστοί, νῦν ἀνυμνοῦμεν καὶ ὁρῶμεν περιχαρῶς· αὐτὸ γὰρ καθεῖλε τὴν πλάνην τῶν εἰδώλων, καὶ ἔσωσε τοὺς πίστει αὐτὸ μακαρίζοντας.

Τῆς Ἁγνῆς σου Σῶτερ Μητρὸς λιταῖς, Σταυροῦ τῇ δυνάμει, προστασίαις Ἀγγελικαῖς, Βαπτιστοῦ πρεσβείαις καὶ πάντων τῶν Ἁγίων, ἡμᾶς τῆς Βασιλείας σου καταξίωσον.

**Εἶτα τὸ Τρισάγιον.**

Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστίν.

**Καὶ τὰ Τροπάρια ταῦτα.**

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς.

**Δόξα.**

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν.

**Καὶ νῦν.**

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν.

**Καὶ μνημονεύει ὁ Ἱερεὺς λέγων.**

Ἐλέησον ἡμᾶς, ὁ Θεός.
Ἔτι δεόμεθα ὑπὲρ ἐλέους.
Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ διαφυλαχθῆναι.

**Καὶ ποιεῖ Ἀπόλυσιν.**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΜΙΚΡΟΥ ΑΓΙΑΣΜΟΥ

**Μετὰ τὸ, Εὐλογητὸς, τὸ, Κύριε εἰσάκουσον· Τὸ, Θεὸς Κύριος, καὶ τὰ παρόντα Τροπάρια.**

**Ἦχος δ'. Τῇ Θεοτόκῳ ἐκτενῶς.**

Τῷ ζωηφόρῳ νῦν Σταυρῷ προσπελάσωμεν, οἱ μακρυνθέντες τοῖς κακοῖς καὶ προσψαύσωμεν, ἐν ἐπιστρόφῳ λέγοντες καρδίᾳ πιστῶς· πρόφθασον βοήθησον ὁ Σταυρὸς τοῦ Κυρίου φάνηθ. λυτρούμενος ἐκ παντοίων κινδύνων· μὴ ἐπεφθῶμεν ἄπρακτα ζητεῖν· τὴν σὴν γὰρ σκέπην βεβαία ἐλπίζομεν.

**Δόξα.**

Οὐ δυνησόμεθα Σταυρὲ τοῦ Κυρίου, τὰ σὰ θαυμάσια ὑμνεῖν οἱ κατάκριτοι· εἰ μὴ γὰρ σὺ παρεῖχες τὰ δωρήματα, τίς ἡμῖν τὴν ἴασιν τῶν τοῦ σώματος νόσων; τίς δὲ καὶ τὴν κάθαρσιν τῶν ψυχῶν ἐδωρεῖτο; οὐ μακρυνθῶμεν πώποτε ἐκ σοῦ· σὺ γὰρ σκέπεις πάντας πιστοὺς, ἐκ παντοίων κακῶν.

**Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Εἶτα τὸν Ν΄. καὶ τὸν κανόνα· λέγοντες Στίχον.**

Σταυρὲ τοῦ Χριστοῦ πανάγιε σκέπε ἡμᾶς τῇ δυνάμει σου.

**Ἦχος πλ. β΄. Ὁ Εἱρμός.**

Ἡ τὸ χαῖρε δι' Ἀγγέλου δεξαμένη, καὶ τεκοῦσα τὸν » Κτίστην τὸν ἴδιον, Παρθένε σῶζε τοὺς σὲ μεγαλύνοντας».

**Δίς.**

Ἀνυμνοῦμεν τὸν Σταυρόν σου Ζωοδότα, καὶ βοῶμεν: Σταυρὲ πανυπέρλαμπρε, παντὸς κινδύνου ῥῦσαι τοὺς ἱκέτας σου.

Βασιλέων Προφητῶν καὶ Ἀποστόλων, καὶ Μαρτύρων ὑπάρχεις τὸ στήριγμα, ὦ Σταυρέ μου καὶ πιστῶν ἡ βοήθεια.

Γλῶσσα πᾶσα εὐφημεῖ καὶ μακαρίζει καὶ δοξάζει, Σταυρόν σου τὸν τίμιον, τῶν ὀρθοδόξων, Ἰησοῦ γλυκύτατε.

Δὸς Χριστέ μου καὶ ἐμοὶ τῷ ἀναξίῳ, ὀφλημάτων τὴν ἄφεσιν δέομαι, τῇ τοῦ Σταυροῦ σου δυνάμει ὡς εὔσπλαγχνος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Ἐπὶ σέ μου τὰς ἐλπίδας ἀνεθέμην, Σταυρὲ Κυρίου σῶσον τῇ δυνάμει σου, καὶ δώρησαί μοι πταισμάτων συγχώρησιν.

Ζώωσόν με ὁ βαστάσας, Ζωοδότην καὶ Σωτῆρα, Σταυρὲ ζωοπάροχε, εὐλογημένε, ἐλπὶς τῶν ψυχῶν ἡμῶν.

Ἦρας Κτίστην τῶν ἁπάντων, Βασιλέα καὶ Δεσπότην, Σταυρὲ καὶ ἐβάστασας, τῇ σῇ δυνάμει ἐπίστρεψον σῶσόν με.

Θεοδόχε ὁ βαστάσας Θεὸν Λόγον, ὑπὲρ λόγον Σταυρὲ Θεοβράβευτε, τῇ σῇ δυνάμει σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἰλεών μοι τὸν Κριτήν μου, Σταυρὲ Θεῖε, ἐπταικότι ὑπὲρ πάντα ἄνθρωπον, τῇ σῇ δυνάμει ἀπέργασαι δέομαι.

Κατὰ χρέος ἐκβοῶμέν σοι τὸ χαῖρε, χριστοφόρε Σταυρὲ πανσεβάσμιε, ἐκδυσωποῦντες δυνάμει σου σώζεσθαι.

Λύτρωσαί με τοῦ πυρὸς τοῦ αἰωνίου, καὶ βασάνων τῶν ἀποκειμένων μοι. Σταυρὲ Κυρίου, ὅπως μακαρίζω σε.

Μὴ παρίδῃς τὰς δεήσεις τῶν σῶν δούλων, δυσωποῦμεν Σταυρὲ τρισμακάριστε, ἵνα ρυσθῶμεν πάσης περιστάσεως.

Νοσημάτων καὶ παντοίων ἀλγηδόνων, καὶ κινδύνων Σταυρὲ ἐλευθέρωσον, τῇ ἱερᾷ σου σκέπῃ καταφεύγοντας.

Ξένον θαῦμα καὶ φρικτὸν σὺ ἀνεδείχθης, Σταυρὲ μόνε· ὁ πάντων γὰρ Κύριος, ἐν σοὶ ἐτέθη λαμπτὴρ παμφαέστατος.

Ὁ Σταυρός σου Ἰησοῦ μου ἀνεδείχθη, ἰατρεῖον νοσημάτων ἄμισθον, καὶ θλιβομένων ψυχῶν παραμύθιον.

Ποιμενάρχου τοῦ Μεγάλου Σταυρὲ ῥάβδος, σὺ ὑπάρχεις· κινδύνων διάσωσον, καὶ πάσης ἄλλης ἀνάγκης τοὺς δούλους σου.

Ῥῦσαι πάσης ἀπειλῆς ἐπερχομένης, τοὺς σοὺς δούλους Σταυρὲ προφητόφθεγκτε, καὶ πάσης βλάβης ψυχῆς τε καὶ σώματος.

Σῶσον πάντας τῇ δυνάμει σου Σταυρέ μου, φωτοφόρε τοὺς εἰς σὲ προστρέχοντας, καὶ ῥῦσαι πάσης ἀνάγκης καὶ θλίψεως.

Τίς προστρέχων τῷ Σταυρῷ σου ψυχοσῶστα, οὐ λαμβάνει ταχέως τὴν ἴασιν, ψυχῆς ὁμοῦ τε καὶ σώματος Δέσποτα;

Ὑπὸ πάντων δυσωπούμενος Οἰκτίρμων, τῶν Ἁγίων καὶ τῶν ἄνω τάξεων, ἱλάσθητί μοι διὰ τοῦ σημείου σου.

Φῶς τοῦ κόσμου σὺ ὑπάρχεις φωτοδόχε, τὸν γὰρ Κτίστην ἁπάντων ἐβάστασας, Σταυρέ μου, φρούρει τοὺς σὲ μακαρίζοντας.



Χαῖρε κόσμου ἱλαστήριον Σταυρέ μου, χαῖρε κλίνη καὶ λυχνία πάγχρυσε, τοῦ Θείου Λόγου, καὶ φωτὸς πυρίμορφε.

Ψάλλομέν σοι τῷ Σταυρῷ τῷ ζωηφόρῳ, ἐκβοῶντες φωνὴν ἱκετήριον, τῇ σῇ δυνάμει σωτηρίας τεύξασθαι.

Ὦ Σταυρέ μου ὁ βαστάσας τὸν Σωτῆρα, καὶ Δεσπότην τοῦ κόσμου καὶ Κύριον, σὲ δυσωποῦμεν σῶσον τὰς ψυχὰς ἡμῶν.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Τοὺς ἐν ζάλῃ πειρασμῶν καὶ τρικυμίας, ταῖς τοῦ βίου πικρῶς κινδυνεύοντας, Παρθένε δούλους τοὺς σοὺς περιφύλαττε.

Ἅγιοι Ἀρχάγγελοι πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ταξιάρχαι πρωτοστάται τῶν Ἀγγέλων, σὺν τοῖς ἄνω χοροῖς καὶ στρατεύμασι, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἅγιε Ἰωάννη Βαπτιστὰ τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ταῖς πρεσβείαις τοῦ Προφήτου καὶ Προδρόμου Ἰωάννου, καὶ πάντων τῶν Προφητῶν, Χριστέ μου Σῶτερ, τοὺς δούλους σου φύλαττε.

Ἅγιοι Ἔνδοξοι Ἀπόστολοι πρεσβεύσατε ὑπὲρ ἡμῶν.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ταῖς πρεσβείαις τῶν Ἐνδόξων Ἀποστόλων, Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν, τοὺς δούλους σου φύλαττε πολυεύσπλαγχνε.

Ἅγιοι Ἱεράρχαι πρεσβεύσατε ὑπέρ.

Ταῖς πρεσβείαις τῶν μεγάλων, Βασιλείου, Γρηγορίου, Ἰωάννου, καὶ πάντων Ἱεραρχῶν, Κύριε ἡμᾶς φύλαττε.

Ἅγιοι Μάρτυρες πρεσβεύσατε ὑπέρ.

Ταῖς πρεσβείαις τῶν γενναίων Ἀθλοφόρων, καλλινίκων Μαρτύρων, θείων ἀνδρῶν τε καὶ γυναικῶν, Κύριε ἡμᾶς φύλαττε.

Ἅγιοι Μεγαλομάρτυρες Τεσσαράκοντα πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ταῖς πρεσβείαις Τεσσαράκοντα Μαρτύρων, τῶν Ἐνδόξων Ἀθλοφόρων, Κύριε τοὺς ἱκέτας, ῥῦσαι ἐκ πάσης θλίψεως.

Ἅγιοι Ἀνάργυροι πρεσβεύσατε ὑπέρ.

Ταῖς πρεσβείαις τῶν Ἁγίων καὶ ἐνδόξων Ἀναργύρων, Χριστὲ διαφύλαξον, τοὺς σοὺς ἱκέτας ἐκ παντοίας θλίψεως.

Ἅγιοι Προπάτορες πρεσβεύσατε ὑπέρ.

Ταῖς πρεσβείαις τῶν Ἁγίων καὶ δικαίων Προπατόρων, ἁπάντων Δικαίων τε, καὶ τῶν Ὁσίων Χριστὲ ἡμᾶς φύλαττε.



**Δόξα.**

Τὸν Πατέρα καὶ Υἱὸν δοξολογοῦμεν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον λέγοντες· Τριὰς Ἁγία σῶσον τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν.**

Ὁ ἀρρήτως τῶν ἁπάντων ὡς βαστάσας, καὶ ὑψώσας τὸν Κτίστην τὸν ἴδιον, Σταυρέ μου σῶζε τοὺς σὲ μεγαλύνοντας.

**Καὶ εὐθὺς τὸ παρόν.**

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν εὐλογημένε Σταυρὲ τοῦ Χριστοῦ· ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσωμεν, ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν χριστιανῶν.

**Εἶτα ὁ Ἱερεύς· τοῦ Κυρίου δεηθῶμεν.**

Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν. . .

**Καὶ ψάλλομεν τὰ παρόντα Τροπάρια.**

**Ἦχος πλ. β΄.**

Νῦν ἐπέστη ὁ καιρὸς ὁ πάντας ἁγιάζων χάριτι τοῦ Σταυροῦ, καὶ ὁ δίκαιος ἡμᾶς ἀναμένει Κριτής, ἀλλ᾽ ἐπίστρεψον ψυχὴ πρὸς μετάνοιαν, ὡς ἡ Πόρνη κράζουσα σὺν δάκρυσι· Κύριε ἐλέησόν με.

Νάμασιν ἐπομβρύσας Χριστὲ πηγὴν τῶν ἰάσεων, ἐν τῷ πανσέπτῳ ναῷ τοῦ Σταυροῦ σου, καὶ τῷ τῆς σῆς εὐλο-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

γίας ραντισμῷ, φυγαδεύεις τὰς νόσους τῶν ἀσθενούντων, ἰατρὲ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Παμμάκαρ σὺ ἐν γῇ ἐκρύβης φθόνῳ, καὶ ἄφθαρτος ἔμεινας Σταυρὲ θεοφόρε, πηγὴ ζωοδώρητε Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, συντήρησον σωθῆναι ἡμᾶς.

Πανάγιε θεοτίμητε Σταυρέ, τῶν χειρῶν ἡμῶν τὰ ἔργα κατεύθυνον, καὶ συγχώρησιν τῶν πταισμάτων ἡμῶν δώρησαι, ἐν τῷ ψάλλειν ἡμᾶς τὸν σωτήριον ὕμνον.

**Εἶτα.**

Τὸν Σταυρόν σου προσκυνοῦμεν Δέσποτα . . .

**κτλ. ἐκ γ'. εἰς ἦχον β'.**

Δόξα καὶ νῦν.

**καὶ τὰ ἑξῆς.**

**Ὁ Ἀπόστολος. Προκείμενον, ἦχ. γ'.**

Κύριος φωτισμός μου καὶ Σωτήρ μου.

**Στίχ.**

Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

**Πρὸς Κορινθίους Α'. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.**

Κεφ. ι'. 1.

Ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης



διῆλθον, καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ, καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός.

**Ἀλληλούϊα. Ἦχος β'.**

Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων.

**Στίχ.**

Ὁ Θεὸς τῆς δόξης ἐβρόντησεν.

**Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην.**

Κεφ. ε'. 1.

Τῷ καιρῷ ἐκείνῳ, ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα. Ἔστι δὲ ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τῇ προβατικῇ κολυμβήθρα, ἐπιλεγομένη Ἑβραϊστὶ Βηθεσδά, πέντε στοὰς ἔχουσα. Ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξήρων, ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν. Ἄγγελος γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρα, καὶ ἐτάρασσε τὸ ὕδωρ· ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος, ὑγιὴς ἐγίνετο, ᾧ δήποτε κατείχετο νοσήματι.

**Καὶ εὐθὺς τὰ Εἰρηνικά.**

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς Σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν,

Ὑπὲρ τοῦ Ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν,

**( δεῖνος )**

τοῦ τιμίου πρεσβυτερίου τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας Μονῆς ταύτης, πάσης πόλεως χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο, τῇ δυνάμει καὶ ἐνεργείᾳ καὶ ἐπιφοιτήσει τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ δωρηθῆναι αὐτῷ δύναμιν ἰαματικὴν διὰ τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πάντων τῶν χρῃζόντων τῆς παρὰ τοῦ Θεοῦ βοηθείας καὶ ἀντιλήψεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς φωτισμὸν γνώσεως καὶ εὐσεβείας διὰ τῆς ὁμοουσίου Τριάδος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ρυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.



Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, Ἀχράντου, Ὑπερευλογημένης Ἐνδόξου, Δεσποίνης, ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι· νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Καὶ εὐθὺς ὁ Ἱερεύς, λέγει τὴν Εὐχὴν ταύτην μεγαλοφώνως.**

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸ πικρὸν ὕδωρ ἐπὶ Μωϋσέως τοῦ προφήτου τῷ λαῷ σου εἰς γλυκύτητα μεταποιήσας, καὶ τὰ βλαβερὰ ὕδατα ἐπὶ Ἐλισσαίου ἅλατι θεραπεύσας, καὶ τὰ Ἰορδάνεια ρεῖθρα ἁγιάσας τῇ ἀχράντῳ σου ἐπιφανείᾳ, αὐτὸς καὶ νῦν Δέσποτα, ἁγίασον τὸ ὕδωρ τοῦτο

**( ἐκ γ'. )**

τῇ δυνάμει, καὶ ἐνεργείᾳ, καὶ ἐπιφοιτήσει τοῦ Ἁγίου σου Πνεύματος, τοῦ γενέσθαι αὐτὸ πᾶσι τοῖς ἀρυομένοις καὶ μεταλαμβάνουσιν ἐξ αὐτοῦ, εὐλογίας πηγήν, ἰατρεῖον παθῶν, ἁγιασμοῦ οἶκον, πάσης ἐπιβουλῆς ὁρατῆς τε καὶ ἀοράτου ἀλεξητήριον· ἐλθέτω σου τὸ Πνεῦμα τὸ ἅγιον ἐφ' ἡμᾶς, καὶ καπασκήνωσον ἐν τῷ ὕδατι τούτῳ, καὶ τοὺς σπίλους τῶν προσερχομένων ἰασάμενος, εἰσάγαγε πάντας ἡμᾶς εἰς τὴν Οὐράνιόν σου Βασιλείαν. Πρεσβείαις τῆς Παναχράντου Ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· τοῦ τιμίου, ἐνδόξου, προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων μεγάλων μαρτύρων Τεσσαράκοντα· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων σου τῶν Ἁγίων. Ὧν ταῖς πρεσβείαις

**(ἐκ γ΄.)**

φύλαττε Κύριε τοὺς δούλους σου τοὺς κατοικοῦντας ἐν τῇ οἰκίᾳ ταύτῃ, σὺν γυναιξὶ καὶ τοῖς τέκνοις αὐτῶν·

**(ἢ τὸν δοῦλόν σου δεῖνα σὺν τῇ συνοδίᾳ αὐτοῦ)**

χάρισαι αὐτοῖς πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον, Μνήσθητι Κύριε πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, καὶ τῶν περιεστώτων καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων ἀδελφῶν ἡμῶν· καὶ πάντων τῶν ἐλεούντων καὶ ἐλεησάντων, καὶ διακονούντων καὶ διακονησάντων ἡμῖν. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι· νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Εἰρήνη πᾶσι.**

Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

**Καὶ λέγει τὴν Εὐχὴν ταύτην μυστικῶς.**

Κλῖνον Κύριε τὸ οὖς σου, καὶ ἐπάκουσόν μου, ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι καταδεξάμενος, καὶ ἁγιάσαι τὰ ὕδατα. εὐλόγησον πάντας ἡμᾶς, τοὺς διὰ τῆς κλήσεως τοῦ ἑαυτῶν αὐχένος σημαίνοντας τὸ τῆς δουλείας πρόσχημα, καὶ καταδίωξον ἡμᾶς ἐμπλησθῆναι τοῦ ἁγιασμοῦ σου διὰ τῆς τοῦ ὕδατος τούτου μεταλήψεως καὶ ῥαντισμοῦ, καὶ γενέσθω ἡμῖν Κύριε, εἰς ὑγείαν ψυχῆς καὶ σώματος.

**Ἐκφώνως.**



Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς ἡμῶν Χριστὲ ὁ Θεὸς, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Εἶτα λαβὼν ὁ Ἱερεὺς τὸν τίμιον καὶ ζωοποιὸν Σταυρὸν, εὐλογεῖ τὰ ὕδατα σταυροειδῶς, ψάλλων καὶ τὸ,**

Σῶσον Κύριε τὸν λαόν σου.

**(ἐκ γ΄.),**

**εἶτα ῥαντίζει τὸν Ναὸν ἢ τὸν οἶκον, ψάλλων τὸ παρόν.**

**Ἦχος β΄.**

Τῶν σῶν δωρεῶν ἀξίους ἡμᾶς ποίησον θεοτίμητε Σταυρὲ, παρορῶν τὰ πλημμελήματα ἡμῶν, καὶ παρέχων τὰ ἰάματα, τοῖς ἐν πίστει λαμβάνουσι τὴν εὐλογίαν σου ἄφθορε.

**Ἐν δὲ τῷ ῥαντίζειν τὸν Ἱερέα τοὺς ἀδελφοὺς, ἡμεῖς ψάλλομεν τὰ παρόντα Ἰδιόμελα.**

**Ἦχος δ΄.**

Κροτήσωμεν σήμερον ᾀσματικὴν πανήγυριν, καὶ φαιδρῷ τῷ προσώπῳ καὶ τῇ γλώττῃ τρανῶς βοήσωμεν· Ὁ δι' ἡμᾶς Χριστὲ, κρίσιν καταδεξάμενος, καὶ ἐμπτυσμοὺς καὶ μάστιγας, καὶ τὸ κόκκινον περιβαλόμενος, καὶ ἐν Σταυρῷ ἀνελθών· ὃν ἰδὼν ὁ ἥλιος καὶ ἡ σελήνη, τὸ φέγγος ἀπέκρυψαν, καὶ τῷ φόβῳ γῆ ἐσείετο, καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη διχῶς· αὐτὸς καὶ νῦν δώρησαι τὸν Σταυρόν σου τὸν τίμιον, ἡμῖν φρουρὸν καὶ φύλακα, καὶ ἐλατῆρα τῶν δαιμόνων, ἵνα πάντες προσπτυσσόμενοι, βοῶμεν αὐτῷ· Σῶσον ἡμᾶς Σταυρὲ τῇ δυνάμει σου· ἁγίασον ἡμᾶς τῇ λαμπρότητί



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σου, τίμιε Σταυρέ, καὶ κραταίωσον ἡμᾶς τῇ ὑψώσει σου· ὅτι φῶς ἡμῖν δεδώρησαι, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

**Ἦχος πλ. β'.**

Σήμερον προέρχεται ὁ Σταυρὸς τοῦ Κυρίου, καὶ πιστοὶ εἰσδέχονται αὐτὸν ἐκ πόθου, καὶ λαμβάνουσιν ἰάματα ψυχῆς τε καὶ σώματος, καὶ πάσης μαλακίας. Αὐτὸν ἀσπασώμεθα τῇ χαρᾷ καὶ τῷ φόβῳ· φόβῳ διὰ τὴν ἁμαρτίαν ὡς ἀνάξιοι ὄντες· χαρᾷ δὲ διὰ τὴν σωτηρίαν, ἣν παρέχει τῷ κόσμῳ, ὁ ἐν αὐτῷ προσπαγεὶς Χριστὸς ὁ Κύριος, ὁ ἔχων τὸ μέγα ἔλεος.

**Δόξα. Ἦχος δ'.**

Φωτολαμπὴς ἀστέρων τύπος, προεδείκνυε Σταυρέ, τρόπαιον νίκης εὐσεβεῖ ἄνακτι τῷ πάνυ· οὗ ἡ μήτηρ Ἑλένη ἀνευραμένη, κοσμοφανῆ πεποίηκε· καὶ σὲ σήμερον ἀνυψοῦντες τῶν πιστῶν αἱ χορεῖαι, κραυγάζομεν. Φώτισον ἡμᾶς τῇ ἐλλάμψει σου, Σταυρὲ ζωηφόρε· ἁγίασον ἡμᾶς τῇ ἰσχύει σου, πανσέβαστε Σταυρέ· καὶ κράτυνον ἡμᾶς τῇ ὑψώσει σου, ὑψούμενος πρὸς παράταξιν ἐχθρῶν.

**Καὶ νῦν. Ὁ αὐτός.**

Τοῦ τιμίου Σταυροῦ Χριστὲ τὴν ἐνέργειαν, προδιατυπώσας Μωϋσῆς, ἐτροπώσατο τὸν ἐναντίον Ἀμαλήκ, ἐν τῇ ἐρήμῳ Σινᾶ· ὅτε γὰρ ἐφήπλου τὰς χεῖρας, Σταυροῦ τὸν τύπον ποιῶν, ἐνίσχυεν ὁ λαός· νυνὶ δὲ τῶν πραγμάτων ἡ ἔκβασις εἰς ἡμᾶς πεπλήρωται. Σήμερον Σταυρὸς ὑψοῦται, καὶ δαίμονες φυγαδεύονται. Σήμερον ἡ κτίσις πᾶσα ἐκ τῆς φθορᾶς ἠλευθέρωται· πάντα γὰρ διὰ σταυροῦ ἐπέλαμψεν ἡμῖν τὰ χαρίσματα. Διὸ γηθόμενοι πάντες, προσπίπτομέν σοι, λέγοντες. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, δόξα σοι.

**Εἶτα ὁ Ἱερεύς.**



Ἐλέησον ἡμᾶς ὁ Θεός.

**Ἐνταῦθα μνημονεύει οὓς θέλει.**

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Μονὴν ταύτην,

**( ἢ τὸν οἶκον τοῦτον ),**

καὶ πᾶσαν πόλιν καὶ χώραν . . .

**Τὸ, Κύριε ἐλέησον Μ'.**

Ἐπάκουσον ἡμῶν ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν.

**Καὶ Ἀπόλυσις.**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΕΥΧΗ

## ΤΟΥ ΑΓΙΟΥ ΜΟΔΕΣΤΟΥ

### ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΛΕΓΟΜΕΝΗ ΕΙΣ ΠΑΣΑΝ ΘΑΝΑΤΗΦΟΡΟΝ ΑΣΘΕΝΕΙΑΝ ΚΑΙ ΒΛΑΒΗΝ ΒΟΩΝ, ΙΠΠΩΝ, ΟΝΩΝ, ΗΜΙΟΝΩΝ, ΠΡΟΒΑΤΩΝ, ΑΙΓΩΝ, ΜΕΛΙΣΣΩΝ, ΚΑΙ ΤΩΝ ΛΟΙΠΩΝ ΖΩΩΝ.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός μου, ὁ ἐλεήμων καὶ πανάγαθος· ὁ πᾶσαν τὴν νοητὴν καὶ αἰσθητὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας· ὁ τοὺς οἰκτιρμούς σου ἐκχέων ἐπὶ πάντα τὰ ὑπὸ σοῦ δημιουργηθέντα· ὁ διὰ τῆς παναγάθου προνοίας σου πάντα προνοῶν καὶ πάντων κηδόμενος τῶν κτισμάτων σου· ἀΰλων, λογικῶν, ὑλικῶν, ἀλόγων, ἐμψύχων, ἀψύχων, ἀπὸ τῶν πρώτων ἕως τῶν ἐσχάτων· οὐδὲν γὰρ ἀπρονόητον, οὐδὲ ἠμελημένον παρὰ σοὶ τῷ ποιητῇ καὶ προνοητῇ τοῦ παντός. Σὺ γὰρ εἶ ὁ ἀνοίγων τὴν χεῖρά σου, καὶ ἐμπιπλῶν πᾶν ζῶον εὐδοκίας· σὺ εἶ ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι καὶ χλόην ἕνεκα τῆς δουλείας τῶν ἀνθρώπων· σὺ εἶ ὁ πάλαι τὰς

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



τῶν ζώων ἀγέλας τοῦ Ἰσραὴλ, ἀνωτέρας διαφυλάξας τῆς θανατηφόρου πληγῆς τῶν πρωτοτόκων ζώων τῶν Αἰγυπτίων. Σὺ εἶ ὁ διὰ τῆς ἐνσάρκου σου οἰκονομίας, καταργήσας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον, καὶ τῷ θανάτῳ σου θανατώσας τὸν θάνατον. Σὺ εἶ ὁ καὶ δι᾽ ἐμοῦ τοῦ ἀναξίου δούλου σου, τὸν μὲν ὄφιν θανατώσας τὸν τὴν πηγὴν τοῦ ὕδατος τῷ ἑαυτοῦ ἰῷ διαφθείραντα, τὰ δὲ ἐξ αὐτῆς πιόντα ζῶα καὶ νεκρωθέντα, τῇ ζωοποιῷ δυνάμει σου ἀναστήσας, τὸν δὲ εἰς τοῦτο συνεργήσαντα δαίμονα, ἐμφανῆ γενέσθαι παρασκευάσας, ὀμνύοντα μηδέποτε προσεγγίσαι τολμήσει, ὅπου ἂν ἐπικληθείη τὸ ταπεινὸν ἐμοῦ ὄνομα. Σοῦ τοίνυν δέομαι Δέσποτα πανάγαθε καὶ ποιητὰ τοῦ παντὸς, καὶ σὲ ἱκετεύω τὸν τῆς ζωῆς πάσης αἴτιον, ἐπάκουσον ταύτης μου τῆς δεήσεως, καὶ ἀπέλασον πᾶσαν θανατηφόρον ἀσθένειαν καὶ βλάβην ἀπὸ τῶν βοῶν, ἵππων, ὄνων, ἡμιόνων, προβάτων, αἰγῶν, μελισσῶν, καὶ τῶν λοιπῶν ζώων τῶν εἰς χρείαν ὄντων τῆς ζωῆς τῶν δούλων σου, τῶν ἐπικαλουμένων σὲ τὸν δοτῆρα πάντων τῶν ἀγαθῶν, καὶ τὸ ἐμὸν ὄνομα· καὶ δὸς Κύριε πᾶσι τοῖς τὴν ἐμὴν μνήμην ἐπιτελοῦσιν, καὶ μετὰ πίστεως προστρέχουσι τοῖς λειψάνοις μου, εἰρήνην σταθηρὰν, πληθυσμὸν ζώων, ἀφθονίαν σίτου, οἴνου καὶ ἐλέου· καὶ ἐπὶ πᾶσιν, ἄφεσιν ἁμαρτιῶν, σωμάτων ὑγείαν, καὶ τὴν τῶν ψυχῶν αἰώνιον σωτηρίαν. Ναὶ Κύριε Ἰησοῦ Χριστὲ, τοῖς ἰδίοις σπλάγχνοις ἐπικαμπτόμενος, οἴκτειρον τὰ πάσχοντα ζῶα, τῇ δρεπάνῃ τοῦ θανάτου ἀγεληδὸν θεριζόμενα· καὶ ὡς λόγον μὴ ἔχοντα, μόνοις τοῖς μηκυθμοῖς, καὶ ταῖς γοεραῖς καὶ ἀνάρθροις φωναῖς, τὸ πάθος καὶ τὴν ὀδύνην αὐτῶν ἐλεεινῶς ἐξαγγέλλοντα, ὥστε καὶ τοὺς λογικοὺς εἰς συμπάθειαν τούτων ἕλκεσθαι. Εἰ γὰρ δίκαιος οἰκτείρων ψυχὰς κτηνῶν αὐτοῦ, κατὰ τὸ γεγραμμένον, πῶς οὐκ οἰκτειρήσεις ταῦτα σὺ, ὁ τούτων ποιητὴς καὶ προνοητής; Σὺ γὰρ εὔσπλαγχνε καὶ τῶν ἐν τῇ κιβωτῷ ζώων ἐμνήσθης, ὑπὸ τῆς οἰκείας χρηστότητος καὶ τῶν οἰκτιρμῶν σου νικώμενος· ἵνα διὰ τῆς εὐεξίας καὶ τοῦ πληθυσμοῦ τῶν βοῶν, καὶ τῶν λοιπῶν τετραπόδων ζώων, καλλιεργεῖται μὲν ἡ γῆ, αὐξάνουσι δὲ οἱ καρποὶ καὶ ἀφθόνως οἱ δοῦλοί σου οἱ ἐπικεκλημένοι τὸ

ὄνομά σου, ἀπολαύωσι τῶν ἰδίων γεωργιῶν· ἐκ τούτων δὲ πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύωσιν εἰς πᾶν ἔργον ἀγαθὸν· καὶ δοξάζωσι μέν, σὲ τὸν χορηγὸν παντὸς ἀγαθοῦ· τιμῶσι δὲ κἀμὲ τὸν σὸν δοῦλον Μόδεστον, καὶ ἱκέτην θερμότατον τῆς παντοκρατορικῆς Βασιλείας σου· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι· νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΙΣ ΤΑ ΚΟΥΚΟΥΛΙΑ

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀγαθὲ καὶ φιλάνθρωπε, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πάντα τὰ ἐν αὐτοῖς· καὶ κοσμήσας ἄμφω ἀρρήτῳ κόσμῳ· σὺ πανάγαθε Βασιλεῦ δεῖξον καὶ νῦν ἡμῖν, τὴν χρηστότητά σου· καὶ ὡς ηὐλόγησας τὸ φρέαρ τοῦ Ἰακώβ, καὶ τὴν κολυμβήθραν τοῦ Σιλωάμ, καὶ τὸ ποτήριον τῶν ἁγίων Ἀποστόλων, εὐλόγησον καὶ τοὺς σκώληκας τοὺς σηρικοὺς τούτους· καὶ ὡς ἐπλήθυνας τοὺς ἀστέρας ἐν τῷ οὐρανῷ, καὶ ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης, οὕτω πλήθυνον καὶ τοὺς σηρικοὺς σκώληκας τούτους· καὶ δὸς αὐτοῖς ὑγείαν, εὐρωστίαν, καὶ νέμεσθαι ἀλυμάντως, καὶ διαφυλάττεσθαι ἐκ πάντων τῶν λυμαινομένων τούτους, διαφυλάττων αὐτοὺς ἀπὸ ἐπαοιδίας, βασκανίας, καὶ πάσης φαρμακείας, ὅπως ποιήσωσι κουκούλια μεστὰ καθαροῦ μεταξίου, πρὸς δόξαν σὴν καὶ αἴνεσιν. Ναὶ πανάγαθε πολυεύσπλαγχνε Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῆς Παναγίας Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων σου· Ὅτι σὺ εἶ ὁ εὐλογῶν, καὶ ἁγιάζων, καὶ πληθύνων, καὶ διασώζων τὰ σύμπαντα, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι· νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



## ΕΥΧΗ ΕΠΙ ΠΑΣΑΝ ΑΡΡΩΣΤΙΑΝ ΚΑΙ ΝΟΣΟΝ

Δέσποτα Παντοκράτορ, καὶ ἰατρὲ ψυχῶν καὶ σωμάτων, ὁ ταπεινῶν καὶ ἀνυψῶν, ὁ παιδεύων καὶ πάλιν ἰώμενος, τὸν ἀδελφὸν ἡμῶν

(δεῖνα),

τὸν ἀσθενοῦντα ἐπίσκεψαι ἐν τῷ ἐλέει σου· ἔκτεινον τὸν βραχίονά σου τὸν πλήρη ἰάσεως καὶ θεραπείας, καὶ ἴασαι αὐτόν, ἐξανιστῶν ἀπὸ κλίνης καὶ ἀρρωστίας· ἐπιτίμησον τῷ πνεύματι τῆς ἀσθενείας· ἀπόστησον ἀπ' αὐτοῦ πᾶσαν πληγήν, πᾶσαν ἀλγηδόνα, πᾶσαν μάστιγα, πάντα πυρετὸν ἢ ῥίγος, καὶ εἰ ἔστιν ἐν αὐτῷ πλημμέλημα, ἢ ἀνόμημα, ἄνες, ἄφες, συγχώρησον διὰ τὴν σὴν φιλανθρωπίαν. Ναὶ Κύριε φεῖσαι τοῦ πλάσματός σου, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι· νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΤΕΡΑ ΕΙΣ ΑΣΘΕΝΟΥΝΤΑ

Πάτερ Ἅγιε, ἰατρὲ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, ὁ πέμψας τὸν Μονογενῆ σου Υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, πᾶσαν νόσον ἰώμενον, καὶ ἐκ θανάτου λυτρούμενον, ἴασαι καὶ τὸν δοῦλόν σου

(δεῖνα),

ἐκ τῆς περιεχούσης αὐτὸν ψυχικῆς καὶ σωματικῆς ἀσθενείας, διὰ τῆς χάριτος τοῦ Χριστοῦ σου· καὶ ζωοποίησον αὐτὸν κατὰ τὸ σοὶ εὐάρεστον, ὅπως τὴν ὀφειλομένην σοι εὐχαρι-

στίαν καὶ προσκύνησιν ἐν ἀγαθοεργίαις ἀποπληροῖ. Πρεσβείαις τῆς Ὑπερευλογημένης Ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας, καὶ πάντων σου τῶν Ἁγίων. Ὅτι σὺ εἶ ἡ πηγὴ τῶν ἰαμάτων, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι· νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΕΥΧΗ

## ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΤΡΥΦΩΝΟΣ

### Εἰς Κήπους, Ἀμπελῶνας καὶ Χωράφια

Θντος μου ἐν Λαμψάκου Κώμῃ, καὶ τὰς χῆνας ἐπιμε-
λουμένου μου καὶ βόσκοντος, ὀργὴ κατῆλθεν ἀπὸ Θεοῦ Παν-
τοκράτορος, οὐκ εἰς τὸν τόπον ἐκεῖνον μόνον, ἀλλὰ καὶ εἰς
τὰς κύκλῳ περιχώρους· τουτέστιν ὀργὴ πρὸς πᾶσαν ἀμπε-
λον, χώραν τε καὶ κῆπον, ἀθρόως τῶν φύλλων καὶ τῶν καρ-
πῶν βριθομένων, μαραινομένων καὶ ἀφανιζομένων. Ὁρῶν
ἐγὼ ὁ ἐλάχιστος Τρύφων οὕτω τηκομένους τοὺς καρποὺς, καὶ
διὰ ταύτην τὴν αἰτίαν δαπανωμένους τοὺς ἀνθρώπους τῷ
παντελεῖ ἀφανισμῷ τῶν καρπῶν τῆς γῆς, τῶν τε χωραφίων,
ἀμπέλων, λαχάνων, καὶ παντοίων δένδρων τῷ τοιούτῳ ὀ-
λέθρῳ παραδιδομένων, διαπονηθεὶς, ἐδεήθην πρὸς τὸν Κύ-
ριον καὶ Θεόν μου, τοῦ γενέσθαι ἀφανῆ πάντα τὰ θηρία τὰ
πρὸς ἀδικίαν καὶ φθορὰν ὑπάρχοντα τῶν τε κήπων, καὶ χω-
ραφίων, καὶ ἀμπέλων, καὶ παντοίων δένδρων τε, καὶ λαχά-
νων, καὶ μάλιστα τῶν τὴν Κώμην ἐκείνην οἰκούντων τῆς πα-
ρακειμένης λίμνης, καὶ πρὸς ὑπόκλησιν καὶ πρόσκλησίν μου
παραγενομένων· καὶ δὴ εἰς προσευχὴν κλίναντός μου τὸ γόνυ,
καὶ τὰς χεῖρας πρὸς τὸν Θεὸν ἐκπετάσαντος· ὁ εἰσακούων

τῶν εἰς αὐτὸν πεποιθότων Θεός, αὐτὸς ἐξαπόστειλον ἐξ ἑτοίμου κατοικητηρίου σου ἄγγελον τοῦ πατάξαι πᾶν φῦλον, καὶ πᾶν γένος κακούργων θηρίων, τῶν ἀδικούντων τὴν ἄμπελον, τὴν χώραν τε καὶ τὸν κῆπον τοῦ δούλου σου

**( δεῖνος )·**

καὶ τῶν θηρίων τούτων ὧν τὰ ὀνόματα σαφῶς ἐπιστάμενος, ἔνθεν ἐρῶ· κάμπη, σκώληξ, σκωληκοκάμπη, κάνθαρος, βροῦχος, ἀκρίς, ἐπίμαλος, καλιγάρης, μακρόπους, μύρμηξ, φθεῖρα, ρυγίτης, ψυλίτης, καυσοκόπος, ἐρυσίβη, κοχλοί, ψαλίτης, καὶ εἴτι ἄλλο προσφυσοῦν, καὶ μαραῖνον τὸν καρπὸν τῆς σταφυλῆς, καὶ τῶν λοιπῶν εἰδῶν καὶ λαχάνων. Οὐ μὴν δέ, ἀλλὰ καὶ αὐτὸς ἐγὼ ὅρκῳ ταῦτα ἐδέσμουν, τοῦ μηκέτι τοὺς τόπους τῶν ἐμὲ προσκαλουμένων, ἐπιβαίνειν τούτους καὶ διατρίβειν, ἀλλ᾽ ἐπὶ ἀβάτων τόπων ἐπέταξα ἀπελθεῖν. Ὁ δὲ ὅρκος τοιοῦτος ἐστίν· ὁρκίζω ὑμᾶς κατὰ τῶν ἁγίων πολυομμάτων Χερουβίμ, καὶ τῶν ἑξαπτερύγων Σεραφίμ, τῶν ἱπταμένων κύκλῳ τοῦ θρόνου καὶ κραζόντων· τό, Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαώθ, εἰς δόξαν Θεοῦ Πατρὸς ἀμήν. Ὁρκίζω ὑμᾶς κατὰ τῶν ἁγίων Ἀγγέλων, καὶ πάσης δυνάμεως, καὶ τῶν μυρίων μυριάδων, καὶ χιλίων χιλιάδων, τῶν φόβῳ πολλῷ ἱσταμένων κατενώπιον τῆς δόξης Κυρίου· μὴ ἀδικήσητε τὴν ἄμπελον, μήτε τὴν χώραν, μήτε τὸν κῆπον, τῶν δένδρων τε καὶ λαχάνων τοῦ δούλου τοῦ Θεοῦ

**( δεῖνος ),**

ἀλλὰ ἀπέλθετε εἰς τὰ ἄγρια ὄρη, εἰς τὰ ἄκαρπα ξύλα, εἰς ἃ ἐχαρίσατο ὑμῖν ὁ Θεὸς τὴν καθημερινὴν τροφήν. Ὁρκίζω ὑμᾶς κατὰ τοῦ τιμίου Σώματος καὶ Αἵματος Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν· δι᾽ οὗ καὶ ἡ σωτηρία ἐδόθη ἡμῖν, καὶ ἀπολύτρωσις, καὶ ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ μέλλομεν ἀποθνήσκειν. Μὴ ἀδικήσητε μήτε τὴν χώραν, μήτε τὴν ἄμπελον, μήτε τὸν κῆπον, μήτε πᾶν δένδρον κάρπιμόν τε καὶ ἄκαρπον, ἢ φύλλον λαχάνων ἀδικήσητε ἐκ τοῦ περιορισμοῦ καὶ τόπου τοῦ δούλου τοῦ Θεοῦ

**( δεῖνος ).**

Εἰ δὲ παρακούσητέ μου καὶ παραβῆτε τὸν ὅρκον ὃν ὥρκισα ὑμᾶς, οὐκ ἔχετε πρὸς ἐμὲ τὸν ταπεινὸν καὶ ἐλάχιστον Τρύ-



φωνα, ἀλλὰ πρὸς τὸν Θεὸν τοῦ Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακώβ, τὸν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. Διὸ καθὼς προεῖπον ὑμῖν, ὑπάγετε εἰς τὰ ἄγρια ὄρη, εἰς τὰ ἄκαρπα ξύλα. Εἰ δὲ μὴ ἀκούσητέ μου, ἱκετεύειν μέλλω τὸν φιλάνθρωπον Θεόν, τοῦ ἀποστεῖλαι τὸν ἄγγελον αὐτοῦ, τὸν ἐπὶ τῶν θηρίων, καὶ σιδήρῳ καὶ μολύβδῳ δήσει ὑμᾶς καὶ ἀποκτενεῖ, ἀνθ᾽ ὧν τοὺς ὅρκους καὶ τὴν προσευχὴν ἐμοῦ τοῦ ταπεινοῦ ἠθετήσατε Τρύφωνος· ἀλλὰ καὶ οἱ στρουθοὶ πεμπόμενοι δι᾽ ἐμῆς προσευχῆς καταφάγωσιν ὑμᾶς. Ἔτι ὁρκίζω ὑμᾶς κατὰ τοῦ μεγάλου ὀνόματος τοῦ ἐπὶ τῆς πέτρας ἐπιγραφέντος, καὶ μὴ βαστασάσης ἀλλὰ διαρραγείσης, ὡσεὶ κηρὸς ἀπὸ προσώπου πυρός· ἐξέλθετε τῶν καθ᾽ ἡμᾶς εἰς οὓς προεῖπον ὑμῖν τόπους, ἀβάτους, ἀνύδρους καὶ ἀκάρπους· ἐξέλθετε ἀπὸ τοῦ τόπου καὶ περιορισμοῦ τῶν δούλων τοῦ Θεοῦ, τῶν κἀμὲ προσκαλουμένων εἰς βοήθειαν αὐτῶν, καὶ ἀντίληψιν καὶ σωτηρίαν. Ἵνα καὶ ἐν τούτοις δοξασθῇ τὸ πανάγιον ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, καὶ αἱ προσευχαὶ καὶ αἰτήσεις τοῦ ταπεινοῦ Τρύφωνος ἐκπληρωθῶσιν. Ὅτι τῷ Θεῷ πρέπει δόξα καὶ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΤΕΡΑ

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ ἐνσάρκῳ σου οἰκονομίᾳ, εὐλογήσας τὴν Βηθλεὲμ καὶ τὴν Γεθσημανῆ, καὶ πρώην τὸν οἶκον Ἰακώβ, ὃς καὶ εὐλογηθεὶς, Ἰσραὴλ μετωνομάσθη· ὁ καὶ τὸν οἶκον Δαβὶδ εὐλογήσας, αὐτὸς εὐλόγησον καὶ τὸ κτῆμα τοῦτο, καὶ ποίησον αὐτὸ ἐπ᾽ εὐλογίαις καρποφορεῖν. Πρεσβείαις τῆς Παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· τοῦ τιμίου ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου. Τῶν Ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν Ἁγίων ἐνδόξων μεγάλων Μαρ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τύρων, Τρύφωνος, Εὐσταθίου, Ἰουλιανοῦ· τῶν Ἁγίων ἐνδόξων μεγάλων Μαρτύρων Τεσσαράκοντα, καὶ πάντων σου τῶν Ἁγίω . Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ ζωοποιῷ σου Πνεύματι· νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΙΣ ΤΟ ΕΥΛΟΓΗΣΑΙ ΠΟΙΜΝΗΝ

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐξουσίαν ἔχων πάσης κτίσεως, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν, ὡς εὐλόγησας καὶ ἐπλήθυνας τὰ ποίμνια τοῦ Πατριάρχου Ἰακὼβ, εὐλόγησον καὶ τὴν Ποίμνην τῶν κτηνῶν τούτων τοῦ δούλου σου

**( δεῖνος ),**

καὶ πλήθυνον καὶ ἐνδυνάμωσον αὐτήν, καὶ ποίησον αὐτὴν εἰς χιλιάδας, καὶ ῥῦσαι ταύτην ἐκ τῆς καταδυναστείας τοῦ διαβόλου, καὶ τῶν ἀλλοφύλων, καὶ πάσης ἐπιβουλῆς ἐχθρῶν, καὶ αὔρας θανατικῆς, καὶ λοιμικῆς νόσου. Περιφρούρησον αὐτὴν δι' Ἁγίων Ἀγγέλων σου, πᾶσαν ἀσθένειαν, πάντα φθόνον, καὶ πειρασμὸν φαρμακείας, καὶ γοητείας, ἐξ ἐνεργείας ἐπηρεασμένης τοῦ διαβόλου, ἀποδιώκων ἐξ αὐτῆς. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΕΛΟΣ

**ΚΑΙ ΤΩι ΘΕΩι**

**ΔΟΞΑ**